TEZAUR LITURGIC

21 OCTOMBRIE

SLUJBA SF.MUCENIȚE TEODOTA DE LA ANCIRA



ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

21 ΟΚΤΩΒΡΙΟΣ
ΘΕΟΔΟΤΗ ΟΣΙΟΜΑΡΤΥΣ
ΑΚΟΛΟΥΘΙΑ

ΕΣΠΕΡΙΝΟΣ

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους στ΄, καὶ ψάλλομεν Προσόμοια. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Ἔρωτι θελχθεῖσα τοῦ Χριστοῦ, πάντα τὰ παρόντα ἡγήσω, καθάπερ σκύμβαλα, Θεοδότη πάνσεμνε, ἀσκήσει πρότερον, τῆς σαρκὸς τὰ σκιρτήματα, νεκρώσασα σθένει, τοῦ Ἁγίου Πνεύματος, παρ' οὗ καὶ δύναμιν, ἔλαβες πλουσίαν ἐξ ὕψους, καὶ ἀθλητικῶς ἐδοξάσθης, σὺν τοῖς Ἀσωμάτοις νῦν χορεύουσα. (Δίς)

Ἤνθησας ὡς ῥόδον εὐθαλές, ἐξ ἁγίας ῥίζης καὶ κόσμον, τοῖς θείοις ἔργοις σου, Μάρτυς εὐωδίασας, τὴν δυσωδίαν παθῶν, καὶ εἰδώλων μειώσασα, σεμνὴ Θεοδότη, ὅθεν τὸ μνημόσυνον τῆς σῆς ἀθλήσεως, μένει, εἰς ἀπείρους αἰῶνας, χάριν καὶ εἰρήνην παρέχον, τοῖς ἀνευφημοῦσιν τοῦτο πάντοτε. (Δίς)

Ὅλη προσηνέχθης τῷ Θεῷ, φερωνύμως ὦ Θεοδότη, σεμνῶς βιώσασα, καὶ ἀπονεκρώσασα, ὄφιν τὸν δόλιον, τῇ συντόνῳ ἀσκήσει σου, καὶ τοῖς θείοις ἄθλοις, διὸ ἐστεφάνωσαι δόξῃ τῇ κρείττονι, εἰς τὸν φωτοφόρον νυμφῶνα, σὺν τοῖς ἀπ' αἰῶνος Ἁγίοις, εἰσελθοῦσα Μάρτυς ἀξιάγαστε.

Χαίρει Ἐκκλησίᾳ τοῦ Χριστοῦ, ὥσπερ μήτηρ εὐφραινομένη, ἐπὶ τῇ μνήμῃ σου, Θεοδότη πάνσεμνε, ἀνακραυγάζουσα· σὺ μου δόξα καὶ καύχημα, ὑπάρχεις καὶ κλέος, καὶ μεσίτις ἔνθεος πρὸς τὸν Φιλάνθρωπον, μόνον Ζωοδότην Σωτῆρα, τὸν ἡμᾶς λυτρώσαντα πάσης, φθορᾶς τῶν εἰδώλων καὶ σκαιότητος.

Δόξα. Ἦχος πλ. α΄.

Τρωθεῖσα τῷ τοῦ Σωτῆρος γλυκυτάτῳ ἔρωτι, καὶ καταθελχθεῖσα, τῷ κάλλει τοῦ σοῦ Νυμφίου Χριστοῦ, κόσμου ὑπερεῖδες τὰ ἡδεα, νουνεχῶς καταλείψασα, ἀσκητικοῖς παλαίσμασιν, τοῖς ἔμπροσθεν ἐπεκτεινομένη, τῇ ἐλπίδι τῆς ζωῆς, τῆς αἰωνίου καὶ κρείττονος, ὅθεν καὶ εἰδώλων τὰ σεβάσματα ἐμφρόνως, ἐβδελύξω χάριτι, τοῦ δυναμοῦντός σε Θεοῦ, ἐν τοῖς ἄθλοις καὶ στερρόῖς παλαίσμασιν, σεμνὴ Θεοδότη, πιστῶν τ’ ἀγλάϊσμα, Ἀθλητῶν εγκαλλώπισμα, καὶ πάσης τῆς Ἐκκλησίας, ἄνθος τὸ εὐωδέστατον. Πρέσβευε δεόμεθα, ὑπὲρ τῶν ἐκτελούντων τὴν πανέορτον μνήμην σου, ὡς ἂν περιγενώμεθα παθῶν, καὶ πάσης θλίψεως ἀδοκήτου, μαρτυρικῇ παῤῥησίᾳ σου.

Καὶ νῦν. Θεοτοκίον.

Ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ τῆς ἀπειρογάμου Νύμφης εἰκὼν διεγράφη ποτέ. Ἐκεῖ Μωϋσῆς διαιρέτης τοῦ ὕδατος, ἐνθάδε Γαβριὴλ ὑπηρέτης τοῦ θαύματος, τότε τὸν βυθὸν ἐπέζευσεν ἀβρόχως, Ἰσραήλ, νῦν δὲ τὸν Χριστὸν ἐγέννησεν ἀσπόρως ἡ Παρθένος, ἡ θάλασσα

μετὰ τὴν πάροδον τοῦ Ἰσραήλ, ἔμεινεν ἄβατος, ἡ ἄμεμπτος μετὰ τὴν κύησιν τοῦ Ἐμμανουήλ, ἔμεινεν ἄφθορος, ὁ ὢν καὶ προών, καὶ φανεὶς ὡς ἄνθρωπος, Θεὸς ἐλέησον ἡμᾶς.

Εἴσοδος. Φῶς Ἱλαρόν. Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα. (μγ΄ 9-14). Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην· ἵνα γνῶτε, καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ᾽ ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Παροιμιῶν τὸ Ἀνάγνωσμα. (λα΄ 10, 13-18, 20, 25). Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Μηρυομένη ἔρια καὶ λίνον,

ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὕτη τὸν βίον. Καὶ ἀνίσταται ἐκ νυκτῶν, καὶ ἔδωκε βρώματα τῷ οἴκῳ, καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς, κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς, ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὅλην τὴν νύκτα ὁ λύχνος αὐτῆς. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο, καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (γ΄ 1-9).
Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ

πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τὴν Λιτὴν ψάλλομεν. Ἦχος α΄.
Χαῖρε καὶ εὐφραίνου ἐν Κυρίῳ, ἡ τοῦ Σωτῆρος Χριστοῦ Ἐκκλησία, ἡ τῷ Νυμφίῳ προσαγαγοῦσα, ὥσπερ ἁγίαν ἀπαρχήν, χοροὺς πολλῶν Μαρτύρων, καταβαλλόντων τὸν ἐχθρόν, ἰσχύϊ τῆς ἀμωμήτου πίστεως, ἐν οἷς ὥσπερ ἀστὴρ διαλάμπει ἐν δόξῃ, ἡ καλλιμάρτυς Θεοδότη, τὸ ἄνθος τὸ τίμιον, ἡ χελιδὼν ἡ ἡδύλαλος, ἡ προμηνύσασα τοῖς πᾶσι, τὸ ἔαρ τῆς χάριτος, ἀθλητικῇ παῤῥησίᾳ. Ταύτην οὖν μακαρίζοντες εἴπομεν· ὑπὲρ ἡμῶν ἀπαύστως πρέσβευε, τῶν προστρεχόντων τῇ σκέπῃ σου.
Ἦχος β΄.
Τὴν τοῦ Κυρίου ἄσπιλον ἄμναδα, καὶ νύμφη ἀκήρατον, τὴν διαπρέψασαν ἐν πόνοις ἀθλήσεως, καὶ καθελοῦσα εἰδώλων τὴν πλάνην, Θεοδότην μακαρίσωμεν, μιμούμενοι ταύτης τὸν βίον, τὸν ἀληθῶς ἰσάγγελον, καὶ τῷ Σωτῆρι βοῶντες ἀπαύστως· Φιλάνθρωπε δόξα Σοι.
Ἦχος δ΄.
Τῆς εὐσεβείας αὐγασθεῖσα τῷ φέγγει, κατελάμπρυνας τῆς ψυχῆς τὸ τριμερές, δι᾽ ἐγκρατείας συντόνου καὶ μετανοίας, ἀναδειχθεῖσα σκεῦος ἀρετῶν, Θεοδότη πανθαύμαστε, ἁγνείας ὀσφράδιον, ὅθεν καὶ μαρτυρικῆς εὐκλείας κατηξιώθης, κηρύξασα Χριστοῦ

τὸ πανάγιον ὄνομα, ἐναντίον τυράννων, καὶ ἀσεβῶν δικαστῶν, διὸ καὶ τὴν κεφαλὴν ἀποτμηθεῖσα, πρὸς οὐρανὸν ἀνέδραμες, ὑπὲρ ἡμῶν πρεσβεύουσα, τῶν ἐκτελούντων τὴν μνήμην σου, τὴν ἱερὰν πανεύφημε.

Δόξα. Ἦχος πλ. α΄.

Ὁ Νυμφίος ὁ ὡραῖος κάλλει, παρὰ πάντας τοὺς βροτούς, εἰδὼς τῆς ψυχῆς σου τὸ ἄπλαστον, πρὸς ἀκήρατον παστάδα προσεκάλεσεν, εἰς οὐρανίους νυμφῶνας, ὅπου δῆμοι τῶν Ἁγίων, δοξολογοῦσιν τὸν Κύριον. Οὗ τοῖς παραγγέλμασιν καλῶς πεισθεῖσα, ἀσκητικῶς ἐλαμπρύνθης, καὶ μαρτυρικῶς ἠνδραγάθησας, συνεισελθοῦσα εἰς τοὺς γάμους, ὡς φρονίμη παρθένος, Θεοδότη ἔνδοξε, σὺν τοῖς Ἀσωμάτοις ἐκδυσωποῦσα, ὑπὲρ ἡμῶν τὸν Φιλάνθρωπον.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος, τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις, Ὁσιομάρτυς Χριστοῦ, ἡ ἀγαπήσασα καὶ μόνον ποθήσασα, Θεὸν τὸν πεφιλημένον, ἐν ὁλοψύχῳ σπουδῇ, καὶ προθύμως τοῦτο ὑπακούσασα, ἀσκήσεως ἔρεισμα, σωφροσύνης κειμήλιον, τῆς ἐγκρατείας, ἄνθος τὸ εὐωδέστατον, θείου ἔρωτος, τὸ ταμεῖον τὸ ἄσυλον, καύχημα περιβόητον, Μαρτύρων ἀγλάϊσμα,

τῆς Ἐκκλησίας τὸ ῥόδον, τὸ διαπνέον τοῖς πέρασιν, ὀσμὴν εὐωδίας, Θεοδότη μακαρία, ἡμῶν τὸ στήριγμα.
Στ.: Ὑπομένων, ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι, καὶ εἰσήκουσε τὴν φωνὴν τῆς δεήσεώς μου.
Χαίροις, Ὁσιομάρτυς σεμνή, ἡ τὸν Νυμφίον σου ἀνδρείως κηρύξασα, ἐνώπιον τῶν τυράννων, καὶ καθελοῦσα ἐχθροῦ, φρύαγμα καὶ θράσος ἀσεβέστατον, τῆς πλάνης καθαίρεσις, καὶ τῆς πίστεως ἔγερσις, ὁμολογίας στόμα τὸ διαπρύσιον, θείας χάριτος, φωτοφόρον κειμήλιον, κλέος τῶν εὐφημούντων σε, νοσούντων ἡ ἴασις, τῶν ἀσθενούντων ἡ ῥῶσις, καὶ θλιβομένων παράκλησις, Χριστὸν ἐκδυσώπει, Θεοδότη μακαρία, ὑπὲρ τῶν δούλων σου.
Στ.: Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατεύθυνε τὰ διαβήματά μου.
Ῥώμῃ, τοῦ παντεπόπτου Χριστοῦ, καὶ τῇ ἰσχύϊ τῇ ἀμάχῳ τῆς πίστεως, ἐνθέως δυναμωθεῖσα, πρὸς ἀοράτων ἐχθρῶν, συμπλοκὴν γενναίως προσεχώρησας, ῥαδίως πατήσασα, τὰ δεινὰ μηχανήματα, καὶ ἀκήρατον εὔκλειαν, ὅθεν σὲ μακαρίζομεν, πιστῶν τὰ συστήματα, χαρμονικῶς ἐκτελοῦντες, τὴν ἀεισέβαστον μνήμην σου, σεμνὴ Θεοδότη, ἡ πρεσβεύουσα ἀπαύστως, ὑπὲρ τῶν δούλων σου.
Δόξα. Ἦχος πλ. δ΄.
Ἀσκήσεως τοῖς πόνοις, τῶν παθῶν τὸ κλυδώνιον, ἡμερώσασα ῥαδίως, τὸ χεῖρον καθυπέταξας τῷ κρείττονι, Χριστοῦ ἀναδειχθεῖσα ἐνδιαίτημα, καὶ

παλάτιον ἔμψυχον. Διὸ καὶ τῶν βασάνων καθυπέστης τὰς ὀδύνας, μὴ δειλιάσασα ἐχθροῦ, τοῦ βροτοκτόνου τὰ βουλεύματα, ἀλλὰ παῤῥησίᾳ ἀμέτρῳ τοῦ Σωτῆρος, ἀνεκήρυξας τὸ ὄνομα, καὶ ξίφει τὴν κεφαλὴν ἀποτμηθεῖσα, ὡς βασιλὶς παρέστης, πεποικιλμένη τοῖς στίγμασιν, τῷ θρόνῳ τῆς Ἁγίας Τριάδος, Θεοδότη καλλίνικε, ὡς ἔχουσα οὖν παῤῥησίαν πρέσβευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

Νῦν ἀπολύεις. Τρισάγιον.

Ἀπολυτίκιον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Θεῷ προσενήνοχας τὴν καθαράν σου ζωήν, ὡς δόσιν πολύολβον, ὦ Θεοδότη σεμνή, στερῤῥῶς ἐναθλήσασα, ὅθεν ἀποτμηθεῖσα, τὴν σὴν κάραν μετέστης, ἔνθα εὐφραινομένων, κατοικία ἐν δόξῃ, ἀπαύστως ἱκετεύουσα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα... Καὶ νῦν... Θεοτοκίον

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον· διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος, δι' οὗ ἀναστήσας

τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

ΟΡΘΡΟΣ

Μετὰ τὴν α΄ στιχολογίαν, κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.

Ὡς δόσις ἱερά, ὥσπερ σφάγιον θεῖον, θυμίαμα δεκτόν, καὶ πολύτιμον μῦρον, τῷ Κτίστῃ προσενήνεξαι, διὰ πόνων ἀθλήσεως, συγχορεύουσα, τῶν Ἀθλοφόρων τοῖς δήμοις, καὶ βραβεύουσα, ὦ Θεοδότη παισμάτων, τὴν λύσιν πρεσβείαις σου.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Πανύμνητε ἁγνή, τοῦ Θεοῦ ἡμῶν Μήτηρ, περίσωζε φθορᾶς, καὶ παθῶν ἀνιάτων, τοὺς Σὲ μεγαλύνοντας, καὶ πιστῶς μακαρίζοντας, ὡς προέφησας, Θεογεννῆτορ Μαρία, θεῖον καύχημα, τῆς οἰκουμένης καὶ κλέος, ἡμῶν τῶν τιμώντων σε.

Μετὰ τὴν β΄ στιχολογίαν, κάθισμα. Ἦχος β΄. Ἐπεφάνης σήμερον.

Τοῦ Χριστοῦ τῇ χάριτι, κραταιωθεῖσα, εὐχερῶς διέλυσας, τὰς ἐπινοίας τοῦ ἐχθροῦ, καὶ πρὸς νυμφῶνα ἀνέδραμες, ὦ Θεοδότη, τμηθεῖσα τὴν κάραν σου.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Τὴν Σὴν ποίμνην φύλαττε, ἐκ τῶν βελῶν τοῦ δολίου, Θεοτόκε Δέσποινα, τὴν Σὴν ταχείαν ἀρωγήν, καὶ προστασίαν παρέχουσα, ὡς τοῦ Ὑψίστου, παλάτιον ἔμψυχον.

Μετὰ τὸν Πολυέλεον, κάθισμα. Ἦχος δ΄. Κατεπλάγη Ἰωσηφ.
Τῶν βασάνων τὰς σειράς, καὶ τὰς ὀδύνας καρτερῶς, καθυπέμεινας σεμνή, ἀνδρειωθεῖσα νοητῶς, τῇ τοῦ Ὑψίστου ἰσχύϊ καὶ προστασίᾳ, ὅθεν τοῦ ἐχθροῦ τὰ βουλεύματα, καὶ πᾶσαν μηχανὴν διεσκέδασας, ὦ Θεοδότη Μάρτυς γενναιόφρον, εἰς βασιλείαν οὐράνιον, εἰσωκισθεῖσα, καὶ δυσωποῦσα, ὑπὲρ ἡμῶν τον Φιλάνθρωπον.
Δόξα. Καὶ νῦν. Θεοτοκίον.
Σὺ ἐλπίς μου καὶ ἰσχύς, καὶ προστασία ἀῤῥαγής, Θεοτόκε Μαριάμ, ἁμαρτωλῶν καταλλαγή, καὶ θλιβομένων παράκλησις καὶ σκέπη, ἐν Σοὶ γὰρ πεποιθώς, βουλὰς ἐκτρέπομαι, ἐχθροῦ τοῦ δυσμενοῦς, καὶ ἀπαλλάτομαι, παντοίων νόσων καὶ πειρατηρίων, ἀκαταπαύστως δοξάζων Σε, τὴν σωτηρίαν, παντὸς τοῦ κόσμου, καὶ τοῦ γένους ἀνάκλησιν.

Οἱ Ἀναβαθμοί. Τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου.
Προκείμενον: Ὑπομένων, ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.
Στ.: Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.
Εὐαγγέλιον μαρτυρικόν.
Ὁ Ν΄ ψαλμός.
Δόξα: Ταῖς τῆς Ἀθληφόρου…

Καὶ νῦν: Ταῖς τῆς Θεοτόκου...
Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...
Καταλιποῦσα λογισμῷ ἐνθέῳ, πάντα τὰ ἐπίκηρα, πρὸς ἀσκητικοὺς ἀγῶνας ἐχώρησας, νευρώσασα σαρκὸς τὴν ἀσθένειαν, τῇ ἐλπίδι τῶν μελλόντων, Θεοδότη πανένδοξε. Διὸ καὶ ὁ Νυμφίος Χριστός, ἐρασθεὶς τοῦ κάλλους σου, πρὸς μαρτυρικοὺς στεφάνους, καὶ δόξαν προσεκάλεσεν, μεταστήσας σε εἰς παστάδα οὐράνιον, μετὰ τὸ ἅγιον τέλος, σὺν τοῖς Ἀγγέλων χοροῖς, ἀΰλως εὐφραινόμενη, καὶ δυσωποῦσα ἀπαύστως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Εἶτα οἱ Κανόνες· ὁ Κανὼν τῆς Θεοτόκου· καὶ τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς: Τὴν Θεοδότην μέλπω ἐκ πόθου.

Ὠδὴ α΄. Ἦχος πλ. β΄. Ὡς ἐν ἠπείρῳ.
Τὸ τοῦ νοός μου ζοφῶδες, Μάρτυς Χριστοῦ, ταῖς λιταῖς σου λάμπρυνον, καὶ παράσχου φωτισμόν, ἵνα μέλψω ἐν ᾠδαῖς, τὴν φαιδράν σου ἑορτὴν καὶ πολυσέβαστον.
Ἡ οὐράνιος γνῶσις τῶν τοῦ Χριστοῦ, ἐντολῶν κατηύγασεν, ἐκ παιδὸς τὸ τῆς ψυχῆς, τριμερὲς καὶ ἔδειξεν ναόν, τοῦ Ἁγίου Πνεύματος σεπτὸν καὶ ἱερώτατον.
Νοητῶς καθορῶσα τὸ τοῦ Θεοῦ, κάλλος τὸ ἐράσμιον, Θεοδότη, τὰ τερπνά, καταλέλιπας ἐμφρόνῳ λογισμῷ, ὁμιλοῦσα μόνη μόνῳ τῷ Νυμφίῳ σου.

Θεοτοκίον.
Φωτοπάροχε Κόρη, Μήτηρ Θεοῦ, τὸ τερπνὸν παλάτιον τοῦ παντάνακτος Θεοῦ, καταλάμπρυνον ψυχήν μου δυσωπῶ, τὴν δεινῶς ἀμαυρωθεῖσαν ἁμαρτήμασιν.

Ὠδὴ γ΄. Οὐκ ἔστιν Ἅγιος.
Θεραπεύουσα ἐν ἔργοις ἐναρέτοις, τὸν φιλάνθρωπον Λόγον διανοίᾳ καθαρᾷ, ἐπλουτίσθης σεπτοῖς, Θεοδότη, παρ᾽ Αὐτοῦ χαρίσμασιν.
Ἐν ἀμέτροις, προσευχαῖς καὶ νηστείαις, ταπεινώσασα ὄφιν, Θεοδότην θαυμαστή, ἀπαθείας τῷ φωτί, ἐλαμπρύνθης Κύριον δοξάζουσα.
Οἱ ἱδρῶτες, τῶν πολλῶν σου ἀγώνων, ὥσπερ μῦρον εὐῶδες κατεμύρισαν πιστῶν, τὰς διανοίας καὶ ψυχάς, Θεοδότη, Χριστοῦ θείᾳ χάριτι.
Θεοτοκίον.
Ἱλασμὸν ἡμῖν δίδου, ὦ Θεοτόκε, τοῖς προστρέχουσιν πίστει τῇ Σῇ σκέπῃ τῇ σεπτῇ, καὶ ἐκβοῶσιν ἀεί· χαῖρε θεῖον, τῶν βροτῶν διάσωσμα.

Κάθισμα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.
Ἐν σεμνῇ πολιτείᾳ καλῶς βιώσασα, κατεπλουτίσθης ἐνθέους, πολλοῖς χαρίσμασιν, ἐναθλήσασα γενναίως, ἀξιάγαστε, καὶ καθελοῦσα τὸν ἐχθρόν, κατεσκήνωσας εἰς γῆν, τῶν πραέων αἰτοῦσα, ὦ Θεοδότη, εἰρήνην καὶ ἱλασμόν, τοῖς σὲ γεραίρουσιν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.
Πειρασμοῖς ἀδοκήτοις καὶ περιστάσεσιν, περιέπεσα Κόρη καὶ τετραυμάτισμαι, τὴν ψυχήν, ὁ Σὸς οἰκέτης, ἀλλὰ δέομαι· χεῖρά μοι δίδου Ἀγαθή, καὶ ἀνάγαγε πρὸς φῶς, τῆς ἀληθοῦς μετανοίας, τῆς εἰσαγούσης πρὸς δόξαν, καὶ Βασιλείαν ἐπουράνιον.

Ὠδὴ δ΄. Χριστός μου δύναμις.
Δοχεῖον γέγονας, τοῦ θείου Πνεύματος, Θεοδότη θεόφρον, ἀσκητικαῖς, ἀγωγαῖς τὸ σῶμά σου, ὑποτάξασα στερρῶς, τῷ θείῳ νόμῳ τῆς χάριτος.
Ὁ πάντων Κύριος, νύμφην προσήκατο, σὲ ἀκήρατον ὄντως καὶ εὐκλεῆ, παρθενίας κάλλεσι, καὶ ἁγνείας κροσσωτοῖς, κεκοσμημένην λαμπρῶς πανεύφημε.
Τυράννων ἔλυσας τὸ θράσος πάνσεμνε, τῇ δυνάμει τοῦ μόνου Δημιουργοῦ, τοῦ σὲ ἐνισχύσαντος, Θεοδότη θαυμαστή, τοῖς τοῦ μαρτυρίου παλαίσμασιν.
Θεοτοκίον.
Λιμὴν πανεύδιος, καὶ ὅρμος ἄκλυστος, τοῖς δεινῶς θαλαττεύουσιν Μαριάμ, τοῖς τοῦ βίου κύμασιν, ἀναδέδειξαι Χριστόν, ἐν σαρκὶ ἀσπόρως κυήσασα.

Ὠδὴ ε΄. Τῷ θείῳ φέγγει σου.
Ἡ ἰσχὺς ἡ ἀήττητος τοῦ Σταυροῦ, ἀσινῆ καὶ ἄφλεκτος τοῦ πυρός, Θεοδότη σεμνή, διεφύλαξεν, πρὸς ὕμνον καὶ δόξαν τοῦ Παντοκράτορος, τοῦ τὴν κτίσιν τῷ λόγῳ δημιουργήσαντος.
Νίκης στέφος ἀπείληφας ἐκ Θεοῦ, μαρτυρίου τὴν

στενὴν ὁδόν, καλῶς θεόφρον βαδίσασα, καὶ τὴν πίστιν ἄμεμπτον καὶ ἀμόλυντον, τηρήσασα εἰς τέλος θεομακάριστε.
Μαστίγων πεῖραν ὀδυνηράν, καὶ τὴν δοκιμὴν τῶν ἀλγεινῶν, φέρεις γενναίῳ φρονήματι, Θεοδότη Μάρτυς ἀξιοθαύμαστε, διὸ ἀντεδοξάσθης, ἐνθέοις χάρισιν.
Θεοτοκίον.
Ἀπονεκρώσας με ὁ δεινός, ὅφις ὁ παμπόνηρος, ἁγνή, εἰς λάκκον μέγα κατέῤῥαξε, ἀλλα σοὶ προστρέχω τῇ προστασίᾳ μου, ἵνα τῆς κακίας τοῦτου ῥυσθῶ ὁ δείλαιος.

Ὠδὴ στ'. Τοῦ βίου τὴν θάλασσαν.
Ἐνέκρωσας πάνσεμνε, τῶν παθῶν ἐπαγωγάς, τῇ μαχαίρᾳ τῆς πίστεως, Θεοδότη ἔνδοξε, ἀπαθείας φωτοφόρῳ αὐγῇ, ἀῤῥήτως φωτισθεῖσα, Χριστοῦ θείᾳ χάριτι.
Λειμὼν ὤφθης πάντερπνος, εὐωδίᾳ ἀρετῶν, τὸν κόσμον εὐωδιάσασα, καὶ παθῶν τὸ δυσῶδες, ἀπομειώσασα, σεμνὴ παμμακάριστε, Θεοδότη κλέος τῶν δούλων σου.
Ποικίλων κολάσεων, τὸν δριμύτητα σεμνή, ὥσπερ ἄσαρκος ἔφερας, πρὸς οὐρανίους σκηνὰς τὸν λογισμόν σου, ὑψώσασα καὶ ἔρωτα, τοῦ Νυμφίου Χριστοῦ ἀξιάγαστε.
Θεοτοκίον.
Ῥυπώδη καὶ βέβηλος, ὅλως πέλω ὁ δεινός, τὸ κρεῖττον

τῷ χείρονι, ὑποτάξας ἀφρόνῳ λογισμῷ Θεοτόκε, ἀλλὰ Σοὶ προστρέχω, τῇ μόνῃ ἐλπίδι καὶ σκέπῃ μου.

Κοντάκιον. Ἡ Παρθένος σήμερον.
Ὡς θυμίαμα δεκτόν, Θεῷ προσῆξας, Θεοδότην θαυμαστή, τὴν βιοτήν σου, σκάμμασιν, τῆς ἐγκρατείας ὡραϊσθεῖσα, αἵματι τοῦ μαρτυρίου καθηγνισθεῖσα, διὰ τοῦτο ἠξιώθης, τῆς ἄνω δόξης, Χριστὸν δοξάζουσα.

Ὁ Οἶκος.
Ἐκ ῥίζης θεοφιλοῦς καὶ εὐσεβοῦς βλαστήσασα, ὡς δένδρον παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ηὐξήθης μακαρία, ἐγκρατείᾳ, ταπεινώσει καὶ πάσῃ ἄλλῃ ἀρετῇ κατακοσμηθεῖσα, τῇ τοῦ Σταυροῦ παντοδυνάμῳ ἰσχύϊ, ὅθεν καὶ θείου ἔρωτος ἠνδραγάθησας, ὡς ἰστὸν ἀράχνης διαλύσασα ἐχθροῦ τὰ πανουργεύματα, τὰ δεινῶς κατὰ σοῦ ἐπιφερόμενα, Θεοδότη πολύαθλε. Διὰ τοῦτο ἠξιώθης, τῆς ἄνω δόξης, Χριστὸν δοξάζουσα.

Συναξάριον.
Τῇ ΚΑ΄ τοῦ αὐτοῦ Μηνός, Μνήμη τῆς Ἁγίας Μάρτυρος Θεοδότης, καὶ Σωκράτους Πρεσβυτέρου.
Τὴν Θεοδότην, ἐκ ξίφους τετμημένην,
Θεῷ δοτὴν ἔγνωμεν ἁγνὴν θυσίαν.
Ὁ Σωκράτης ἔσπευδεν ὀφθῆναι, Λόγε,
Τετμημένος σοι Σωκράτης στεφοκράτης.

Ὠδὴ ζ΄. Δροσοβόλον μέν.
Ὡς τοῦ Λόγου νύμφη ὄντως ἀδιάφθορος, τὰ τῶν τυράννων δεινὰ βουλεύματα, διεσκέδασας γενναίῳ λογισμῷ, μηδὲν πτοηθεῖσα ἀληθῶς, τῶν βασάνων τῶν ἀμέτρων, παμμακάριστε.
Ἐν ἀσκήσει διαλάμψασα τὸ πρότερον, Θεοδότη σκεῦος τῆς θείας χάριτος, ἀνεδείχθης καὶ Μαρτύρων κοινωνός, μειώσασα τὴν ἀχλύν, τῶν εἰδώλων τῶν ψευδῶν, ἀξιοθαύμαστε.
Καρτερίᾳ τῶν βασάνων καὶ τῶν θλίψεων, κατεκάλυνας τῆς ψυχῆς τὴν εὐγένειαν, ὡς ἥλιος ἀστράψασα φαιδρός, Θεοδότη παρθένων καλλονή, τῷ ἀθανάτῳ Βασιλεῖ συμβασιλεύουσα.
Θεοτοκίον.
Ἐλευθέρωσον Παρθένε παναμώμητε, πάσης φθορᾶς καὶ θλίψεως, τοὺς οἰκέτας Σου, τοὺς προστρέχοντας τῇ σκέπῃ Σου, καὶ μέλποντας Κόρη εὐλαβῶς· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η΄. Ἐκ φλογὸς τοῖς Ὁσίοις.
Πολυτρόπους κολάσεις στερρῶς ἐνέγκασα, δι’ ἀγάπην τοῦ μόνου σεμνή, Νυμφίου σου, ὅλη ηὐγάσθης τῆς Τριάδος τῇ χάριτι, Μάρτυς Θεοδότη, Χριστὸν ὑπερυψοῦσα.
Ὀρθοδόξων τὰ πλήθη σὲ μακαρίζομεν, τὴν μνήμην σου σέβομεν τὴν ὑπέρφωτον, Μάρτυς Θεοδότη, τὸν Σωτῆρα δοξάζοντες, καὶ ὑπερυψοῦντες, εἰς πάντας τοὺς αἰῶνας.

Θεωροῦσα τὸ κάλλος τοῦ Παντοκράτορος, καὶ Ἀγγέλοις τοῖς θείοις νῦν συγχορεύουσα, μέμνησο ἡμῶν, Θεοδότη πανσέβαστε, τῶν ὑπερυψούντων, Χριστὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Τετρωμένος τῷ βέλει τοῦ πολεμήτορος, εἰς βυθὸν ἀπωλείας ὄντως κατήντησα, Κόρη Παναγία, δυσωπῶ Σε οἰκτείρησον, τὸν ὑπερυψοῦντα, Σὸν τόκον εἰς αἰῶνας.

Ὠδὴ θ΄. Θεὸν ἀνθρώποις.

Οἱ σοὶ ἀγῶνες καὶ τὰ παλαίσματα, τὴν Ἐκκλησίαν πᾶσαν Θεοδότη, κατήρδευσαν, ἥτις εὐσεβῶς μεγαλύνει τὴν μνήμην σου, πόθῳ ἀναβοῶσα· χαῖρε πανθαύμαστε, πάντων τῶν πιστῶν τὸ ἐγκαλλώπισμα. Ὑμνοῦμεν πίστει τὴν πολιτείαν σου, τὴν θαυμαστὴν καὶ θείαν, Θεοδότη πανεύφημε, ἐξαιτοῦντες λύσιν, πολυτρόπων δεινῶν, ἡμῖν ἐπερχομένων, θείαις πρεσβείαις σου, πρὸς τὸν Ζωοδότην καὶ Φιλάνθρωπον Κύριον.

Ὑπὲρ ἡλίου τὸ φῶς ἐξήστραψας, ἐν τῇ Σιὼν τῇ ἄνῳ Θεοδότη καλλίνικε, διὸ φώτισον ἡμῶν τὰς ψυχάς, ἱκεσίαις σου, ἵνα ἐν θείοις ὕμνοις, σὲ μακαρίζομεν, τὸν ἀγωνοθέτην Χριστὸν μεγαλύνοντες.

Θεοτοκίον.

Ἠνοίχθη Κόρη Θεοχαρίτωτε, ὁ κεκλεισμένος πάλαι τοῖς ἀνθρώποις Παράδεισος, τῷ Σῷ θείῳ τόκῳ καὶ ἀσπόρῳ ἁγνή, διὸ εὐχαριστοῦντες, καὶ μεγαλύνοντες,

τὴν Σὴν χάριν πόθῳ οἱ πιστοί, ἐξαιτούμεθα.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.
Χριστὸν ἀκολουθήσασα ἐκ ψυχῆς Θεοδότη, δοχεῖον ἀναδέδειξαι, ἀρετῶν θεοσδότων, καὶ δι' ἀθλήσεως πόνων, κοινωνὸς τῶν Μαρτύρων, μεθ' ὧν ἀπαύστως πρέσβευε, ἡμῖν δοῦναι εἰρήνην, καὶ τῶν δεινων, ἐγκλημάτων ἄφεσιν τοῖς τελοῦσιν, τὴν φωτοφόρον μνήμην σου, καλλιπάρθενε νύμφη.
Θεοτοκίον.
Παρθένε παναμώμητε, παρθενίας τὸ ῥόδον, παρθένων ἀγαλλίαμα, παρθενόφυτον ἄνθος, ἡ μετὰ τόκον Παρθένος, ὡς πρὸ τόκου κυρίως, ἐν παρθενίᾳ στήριξον, τοὺς Σοὺς δούλους τοὺς πόθῳ, ἀπὸ ψυχῆς, ὕμνοις μακαρίζοντας ἀσιγήτοις, τὴν μόνην Σε ἀκήρατον, ἀειπάρθενον Κόρην.

Αἶνοι. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.
Τῷ τιμητικῷ ἐγκρατείας ξίφει ἀπέκοψας, παθῶν ἐπαναστάσεις, Θεοδότη θεόφρον, στερῥῶς καθοπλισθεῖσα τῇ τοῦ Σταυροῦ, θείᾳ χάριτι ἔνδοξε, καὶ τῶν ἐχθρῶν τῶν ἀσάρκων τὰς μηχανάς, τῇ ἀσκήσει διεσκέδασας.
Ὥσπερ ἀστὴρ ἑωσφόρος ἡμῖν ἐπέλαμψεν, ἡ φωταυγής σου μνήμη, σκοτασμὸν καὶ ὀμίχλην, διώκουσα τῶν νόσων καὶ τῶν παθῶν, Θεοδότη πολύαθλε, ἣν ἐκτελοῦντες δοξάζομεν τὸν Χριστόν, τὸν πλουσίως σὲ δοξάσαντα.

Ἡ τοῦ Χριστοῦ Ἐκκλησία σκίρτα καὶ χόρευε, ἐπὶ τῇ πανηγύρει, τῆς σεμνῆς Θεοδότης, ἐν ὕμνοις ἐτησίαις τιμῶσα φαιδρῶς, ταύτης τὰ κατορθώματα, καὶ τὸ γενναῖον μαρτύριον καὶ σεπτόν, δι' οὗ πέπτωκεν ὁ δόλιος.
Ἀποτμηθεῖσαν τὴν κάραν πλάνην ἀπέτεμες, ἀκάνθας καὶ προῤῥίζους, Θεοδότη θεόφρον, καὶ ὤφθης ἰσοστάσιος τῶν κλεινῶν, Ἀθλητῶν παμμακάριστε, μεθ' ὧν δυσώπει ἀπαύστως ὑπὲρ ἡμῶν, τὸν Φιλάνθρωπον Σωτῆρα Θεόν.
Δόξα. Ἦχος πλ. α΄.
Ὥσπερ φρονίμη, μακαρία παρθένος, τῷ ἐλαιῳ τῆς ἐγκρατείας, τὴν τῆς ψυχῆς διετήρησας λαμπάδαν, ἀκοίμητον καὶ ἄσβεστον γρηγοροῦσα, καὶ τὸν Νυμφίον εὐφραινομένη, ἐν ἀδοκήτῳ ὥρᾳ προσδοκοῦσα, διαπαντὸς εὐτρεπιζομένη, ἐν προσευχαῖς καὶ δεήσεσιν, ὅθεν καὶ προθύμως σεαυτήν, παρέδωκας εἰς ἀμετρήτους βασάνους, καὶ θάνατον ἑκούσιον, τὰ ἄνω ποθοῦσα ἀκήρατα Βασίλεια, ὅπου τῶν Ἁγίων οἱ δῆμοι. Μεθ' ὧν συναυλιζομένη, Θεοδότη πανεύφημε, δώρησαι ταῖς ψυχαῖς ἡμῶν, εἰρήνην καὶ τὸ μέγα ἔλεος.
Καὶ νῦν. Θεοτοκίον.
Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος, τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

Μεγαλυνάριον.
Χαίροις τῶν Μαρτύρων κλέος λαμπρόν, χαίροις τοῦ Σωτῆρος, νύμφη πάνσεμνος καὶ σεπτή, χαίροις Θεοδότη, ἡμῶν ἡ προστασία, ἡ πᾶσι χορηγοῦσα, πταισμάτων ἄφεσιν.

